κελλον τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου καὶ παρ' αὐτοῦ προτραπεὶς μάρτυς ὑπέγραψα καὶ ἐσφράγισα. †

† Θεοφάνης πρεσβύτερος, ὁ Θεοδοσίου, παρὼν ἐπὶ τῷ παρόντι κωδικέλλῳ τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου καὶ παρ' αὐτοῦ προτραπεὶς εἰς τὸ μαρτυρῆσαι ὑπέγραψα καὶ ἐσφράγισα. †

† Μιχαὴλ πρεσβύτερος, ὁ Φαφουλάκης, πάρειμι ἐπὶ τῷ παρόντι κωδικέλλῳ τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου καὶ παρ' αὐτοῦ προτραπεὶς εἰς τὸ μαρτυρῆσαι ὑπέγραψα καὶ ἐσφράγισα. †

† Γεώργιος, ὁ εὐτελὴς πρεσβύτερος καὶ νοτάριος Εὐρίπου, ὁ γραφεύς, καὶ αὐτὸς προτραπεὶς παρὰ τοῦ μοναχοῦ κυροῦ Χριστοδούλου ὑπέγραψα καὶ ἐσφράγισα, ὡς γραφεὺς καὶ τοῦ ὅλου ὕφους. †

*Archetypum chart. Flor. II. nro 2 et 3. exstant Nro 4 et 5 exemplaria antiqua testamenti et codicilli, in fine mutila.*

## XXI. 6602—1094, die 5 mensis martii, ind. II.

*Theodosius Castrisius renunciat dignitati praepositi coenobii Sancti Ioannis Theologi in insula Patmo.*

Ἔγγραφον ἀποτάξεως Θεοδοσίου τοῦ Καστρισίου.

† . . . . . . . . . . . . . . . . . . . . . . . . . τοῦ Καστρισίου τὸ παρὸν τῆς ἀποτάξεως . . . . . . . . . . . . . . . τῆς οἱασοῦν περινοίας, πρὸς ὑμᾶς, Νεόφυτον . . . . . . . . . . . . . . . . Πάτμου, Γρηγόριον μοναχόν, καὶ τοὺς λοιποὺς μοναχοὺς τῆς . . . . . . . . . . . . . καὶ τὸ μέρος καὶ τὰ δίκαια αὐτῆς, καθὼς τὸ ὕφος δηλώσει· καὶ γὰρ ὁ μοναχὸς Χριστόδουλος ὁ Λατρηνὸς τελευτῶν ἐπὶ μυστικῇ διατάξει καὶ κωδικέλλῳ διωρίσατο μετά γε τῶν ἄλλων καὶ τοῦτο· «καταλιμπάνω ἀντ' ἐμοῦ κύριον καὶ ἐξουσιαστὴν εἰς τὸ εὐτελὲς μοναστήριον τοῦ τιμίου καὶ ἠγαπημένου Θεολόγου, τοῦ ἐν τῇ Πάτμῳ, τὸν μοναχὸν Ἀρσένιον τὸν Σκηνούριον, τὸν ὄντα εἰς τὰ Ἱεροσόλυμα, μετὰ καὶ πάντων τῶν διαφερόντων αὐτῷ», ἐάσας τῇ τοιαύτῃ αὐτοῦ μονῇ τά τε τέσσαρα πλοῖα αὐτοῦ καὶ ἕτερα διάφορα εἴδη, παρακατιὼν γράψας καὶ ταῦτα· «εἰ μὲν εἰσέλθῃ ὁ προμνημονευθεὶς μοναχός, κῦρις Ἀρσένιος, ἐν τῇ τοιαύτῃ μονῇ, ἵνα ἔχῃ τὴν ἐξουσίαν καὶ κυριότητα ταύτης καὶ τῶν αὐτῇ διαφερόντων πάντων κατὰ τὸ γεγονός μοι θεῖον καὶ προσκυνητὸν χρυσόβουλλον παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως. εἰ δὲ οὐ καταδέξηται τὴν τοιαύτην ἡγουμενίαν ἤ, ὡς μεμαθήκαμεν, πρὸς κύριον ἐξεδήμησε, διορίζομαι, ἵνα τὸ πνευματικόν μου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

παιδίον, ὁ χαρτουλάριος καὶ πατριαρχικὸς νοτάριος, κύρις Θεοδόσιος, ὁ ἀνεψιὸς τοῦ ἀποιχομένου κυροῦ Βασιλείου τοῦ Καστρεισίου, ἀπέλθῃ ἐν τῇ εἰρημένῃ θείᾳ μονῇ καὶ ἀποκειράμενος ἐν αὐτῇ προΐσταται καὶ ἡγουμενεύῃ, πρωτεύων τῶν ἀδελφῶν πάντων, μὴ ἔχοντος αὐτοῦ ἄδειαν εἰσάγειν τινὰ τῶν συγγενῶν αὐτοῦ ἐν τῇ τοιαύτῃ μονῇ», καθὼς περὶ τούτων πάντων καὶ περὶ ἄλλων τινῶν ὑποθέσεων ἡ γεγονυῖα παρ' ἐκείνου μυστικὴ τε διάταξις καὶ ὁ κωδίκελλος σαφέστατα παριστῶσι. τούτου οὖν οὕτως διαταξαμένου καὶ τοῦ μοναχοῦ Ἀρσενίου τοῦ Σκηνούρου μήτε μὴν ἐνδημήσαντος ἐνταῦθα ἄχρι τοῦ παρόντος ἢ πρόνοιάν τινα θεμένου τῆς ῥηθείσης μονῆς καὶ τῶν διαφερόντων αὐτῇ, οὐκ ἐπαύσατε ὑμεῖς οἱ τῆς αὐτῆς μονῆς μοναχοὶ διηνεκῶς αἰτούμενοί με ἀποκαρῆναι καὶ ἀναδέξασθαι τὴν τοιαύτην μονὴν καὶ τὰ παρὰ τοῦ κατοιχομένου Χριστοδούλου μοναχοῦ τοῦ Λατρηνοῦ διατεταγμένα ἐκπληρῶσαι· ἐγὼ δὲ ὁ ῥηθεὶς Θεοδόσιος, χαρτουλάριος καὶ πατριαρχικὸς νοτάριος, ὁ ἀνεψιὸς τοῦ ἀποιχομένου Βασιλείου τοῦ Καστρεισίου, οὐκ ἠθέλησα ὅλως τοῦτο ποιῆσαι καὶ ἀποκαρῆναι ἢ ἐν τῇ νήσῳ Πάτμῳ ἐξελθεῖν καὶ τὴν ῥηθεῖσαν μονὴν καὶ τὰ διαφέροντα ταύτῃ ἀναδέξασθαι κατὰ τὴν τοῦ δηλωθέντος Χριστοδούλου μοναχοῦ τοῦ Λατρηνοῦ διόρισιν, διὰ τὸ ταύτην μήκιστα εἶναι καὶ πτοεῖσθαι τόν τε τῆς θαλάσσης πλοῦν, τὰ ἐκεῖσε ἐξερχόμενα πολεμικὰ καὶ τοὺς Τούρκους, ἔτι δὲ καὶ τοὺς κουρσαρίους καὶ διὰ τὸ δύσβατον καὶ ἔρημον τὸν τοιοῦτον τόπον τυγχάνειν, καὶ μήτε ἀπαρτισθῆναι τελείως τὴν τοιαύτην μονήν, μήτε δύνασθαι κυβερνῆσαι τὰ ταύτῃ διαφέροντα, ἀλλ' ᾑρετισάμην ἑκουσίως καὶ οὐκ ἀνάγκῃ τινὶ ἢ βίᾳ ἀποτάξασθαι τῷ τοιούτῳ δικαίῳ τοῦ δευτέρου προσώπου, καὶ ἐᾶσαι ὑμῖν τοῖς λεχθεῖσι μοναχοῖς ἀπ' ἐντεῦθεν ἔχειν τὴν δηλωθεῖσαν μονὴν καὶ προνοεῖσθαι αὐτῆς τε καὶ τῶν διαφερόντων αὐτῇ, εὐλαβῶν καὶ τιμίων ἀνδρῶν ὑμῶν ὄντων καὶ δυναμένων εἰς σύστασιν τῆς τοιαύτης μονῆς καὶ τῶν διαφερόντων ταύτῃ εἶναι. διά τοι ταῦτα, καὶ ὡς μὴ θέλων ἀποκαρῆναι, κατὰ τὴν δύναμιν τῆς διατάξεως τοῦ μοναχοῦ Χριστοδούλου τοῦ Λατρηνοῦ, ἀλλὰ κατ' οἰκείαν βούλησιν ἀποταξάμενος, καθὰ δεδήλωται, τῷ δικαίῳ τοῦ δευτέρου προσώπου καὶ παραχωρήσας ἔχειν ἀπ' ἐντεῦθεν ὑμᾶς τὴν δηλωθεῖσαν μονὴν καὶ τὰ διαφέροντα ταύτῃ, συμφωνῶ καὶ ἐπερωτῶμαι, ἵνα μὴ ἔχω ἄδειαν ἢ ἐξουσίαν ἀπὸ τοῦ νῦν ποτε καιροῦ ἢ χρόνου ἐπιζητεῖν ἀποκαρῆναι ἐν τῇ τοιαύτῃ μονῇ ἢ ἡγουμενεύειν ἢ προΐστασθαι ταύτης καὶ τῶν αὐτῇ διαφερόντων ἢ χρῆσίν τινα ἐν ταύτῃ ἀνακαλεῖσθαι ἔχειν ἢ ἀπὸ τῶν ἐκ ταύτης εἰσοδιαζομένων ἐπιζητεῖν τι πώποτε ἢ πρὸς ἀθέτησιν τοῦ παρόντος ἐγγράφου γίνεσθαι ὅλως οἱαδήτινι προφάσει ἢ ἀφορμῇ ἢ περιγραφὴν εἰς μέσον προφέρειν ἢ βίαν ἢ ἀπάτην ἢ δυναστείαν ἢ ἄγνοιαν νόμου ἢ ἄλλην

τινὰ νομικὴν ἀρωγὴν ἀνακαλεῖσθαι ἢ λέγειν, ὅτι τότε ἀπεταξάμην, ὅτε οὐκ ἔδει, καὶ πρὸ τοῦ ἐνδημῆσαι τὸν μοναχὸν Ἀρσένιον καὶ τὴν γνώμην αὐτοῦ κατάδηλον θέσθαι ἢ πρὸς ἄλλας τινὰς ἀμφιβολίας ὑπεισέρχεσθαι· ἑκουσίως γὰρ καταφρονῶ παντὸς τοῦ ἐπὶ τῇ τοιαύτῃ μονῇ τοῦ τιμίου Θεολόγου τοῦ ἐν τῇ Πάτμῳ καὶ τῶν διαφερόντων αὐτῇ πάντων προσβοηθοῦντός μοι δικαίου, ὡς ἀδυνάτως ἔχων ἀπελθεῖν εἰς αὐτὴν καὶ ἐν αὐτῇ διάγειν διὰ τὰ προαναγεγραμμένα ἅπαντα, καὶ ὁμολογῶ μὴ χρήσεσθαί τινι νομικῇ βοηθείᾳ, οἱῳδήτινι τρόπῳ ἢ ἄλλῳ δικαίῳ προσβοηθοῦντί μοι. λοιπὸν ἐὰν ἄρα τοιοῦτόν τι ποιήσω καὶ οὐ φυλάξω τὸ παρὸν τῆς ἀποτάξεως ἔγγραφον βέβαιον καὶ τὰ ἐν αὐτῷ ἀνατατтόμενα ἀπαράθραυστα, ἀλλὰ πρὸς ἀνατροπὴν ἑνὸς καὶ μόνου ῥήματος τῶν ἀναγεγραμμένων γένωμαι, μερικῶς εἴτε καθόλου, πρὸς τὸ μὴ εἰσακούεσθαι εἰς εἴ τι καὶ ἔχω λέγειν, ἵνα μὴ μόνον ὑπάρχω καταδεδικασμένος ἀπὸ παντὸς κριτηρίου καὶ τὸ κρῖμα ἀπὸ κυρίου θεοῦ παντοκράτορος ἐπισπῶμαι καὶ τὴν ἀρὰν κληρονομῶ τῶν τιη´ ἁγίων καὶ θεοφόρων πατέρων, ἀλλ᾽ ὡς ἐκ μεταμελείας καὶ πρόστιμον παρέχειν ἐκ συμφώνου καὶ ἐπερωτήσεως πρὸς ὑμᾶς μὲν τοὺς δηλωθέντας μοναχοὺς καὶ τὸ μέρος τῆς ὑμῶν μονῆς χρυσίου λίτρας δώδεκα, πρὸς δὲ τὸ μέρος τοῦ βασιλικοῦ βεστιαρίου ἑτέρας λίτρας τέσσαρας, μένοντος εἶθ᾽ οὕτως καὶ τοῦ παρόντος ἐγγράφου τῆς ἀποτάξεως ἰσχυροῦ καὶ βεβαίου εἰς τὸ ἀεί. ἐπεὶ δὲ κατεβαλόμην ἐγὼ ὁ ῥηθεὶς Θεοδόσιος, χαρτουλάριος καὶ πατριαρχικὸς νοτάριος, ὁ τοῦ Καστρεισίου, λόγῳ μερικῆς τινος ἐξόδου τῆς τοιαύτης μονῆς χρυσᾶ νομίσματα διακόσια τραχέα χιάτα, καὶ ἐπεζήτουν ταῦτα λαβεῖν, ἐξενεγκόντες δεδώκατέ μοι ταῦτα τὴν σήμερον καὶ ἐνώπιον τῶν μαρτύρων σῶα καὶ ἀνελλιπῆ, καὶ ἵνα μὴ ἔχω ἄδειαν ἀπὸ τοῦ παρόντος πρὸς δευτέραν ἐπιζήτησιν τοῦ τοιούτου χρυσίου τῶν διακοσίων τραχέων χιάτων νομισμάτων χωρεῖν μερικῶς εἴτε καθόλου, ἢ ἕτερόν τι πλεῖον ἐπιζητεῖν πώποτε, οἱᾳδήτινι προφάσει ἢ ἀφορμῇ ἢ πρὸς ἄλλην τινὰ ἀμφιβολίαν ὑπεισέρχεσθαι· εἰ γὰρ οὐ φυλάξω τὸ παρὸν ἔγγραφον, καθὰ δεδήλωται, βέβαιον, πρὸς τὸ μὴ εἰσακούεσθαι εἰς εἴ τι καὶ ἔχω λέγειν, ἵνα μὴ μόνον καὶ τὸ τοιοῦτον χρυσίον τὰ διακόσια χρυσᾶ τραχέα χιάτα νομίσματα ἀπὸ συμφώνου εἰς τὸ διπλάσιον ἀπαιτῶμαι, μετὰ καὶ τοῦ μέρους μου, καὶ ἐκ πάσης μου τῆς περιουσίας καὶ ὑποστάσεως, ἀλλ᾽ ὡς ἐκ μεταμελείας ὑπόκειμαι ταῖς ἀναγεγραμμέναις ἀραῖς καὶ τοῖς προστίμοις βεβαίου εἶθ᾽ οὕτως συντηρουμένου καὶ τοῦ παρόντος ἐγγράφου τῆς ἀποτάξεως εἰς τὸ ἀεί, ἐμοῦ δὲ τοῦ δεδηλωμένου Θεοδοσίου χαρτουλαρίου τοῦ Καστρεισίου πάντα τὰ ἀναγεγραμμένα βέβαια φυλάττοντος μετὰ καὶ τοῦ μέρους μου, ἵνα μηδὲ ὑμεῖς οἱ μοναχοὶ τῆς σεβασμίας μονῆς τοῦ τιμίου Θεολόγου

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τοῦ ἐν τῇ νήσῳ τῆς Πάτμου ἕξητε ἀπ' ἀδείας δίκην τινὰ ποιεῖσθαι πώποτε κατ' ἐμοῦ ἢ τοῦ μέρους μου περὶ οἱασδηποτοῦν ὑποθέσεως, εὐλόγου, τυχόν, ἢ καὶ ματαίας, ἢ τὸ ἀναγεγραμμένον χρυσίον, τὰ διακόσια τραχέα χιάτα νομίσματα, ἐπιζητεῖν ἀπ' ἐμοῦ ἢ τοῦ μέρους μου μερικῶς εἴτε καθόλου. ἐὰν δὲ καὶ ὑμεῖς οὐ φυλάξητε πάντα τὰ ἀναγεγραμμένα βέβαια, πρὸς τὸ μὴ εἰσακούεσθαι εἰς εἴ τι καὶ ἔχετε λέγειν, ὑπόκεισθε ταῖς ἀναγεγραμμέναις ἀραῖς καὶ τοῖς προστίμοις, συντηρουμένου εἶθ' οὕτως βεβαίου καὶ τοῦ παρόντος ἐγγράφου. ἀντέστρεψα δὲ ὑμῖν τοῖς μοναχοῖς καὶ ἃ κατεῖχον δικαιώματα, ἤγουν τό τε πρωτότυπον τῆς μυστικῆς διατάξεως τοῦ μοναχοῦ Χριστοδούλου τοῦ Λατρηνοῦ, τὸ πρωτότυπον τοῦ κωδικέλλου αὐτοῦ καὶ τὰ ἴσα τούτων τὰ πεπιστωμένα παρὰ τοῦ μεγαλεπιφανεστάτου κουροπαλάτου καὶ πραίτωρος Πελοποννήσου καὶ Ἑλλάδος, κυροῦ Βάρδα τοῦ Ἰκανάτου. ὅθεν καὶ πρὸς τὸ ἔχειν ὑμᾶς τὸ ἀσφαλές, προέταξα καὶ ὑπέταξα ἰδιοχείρως, τοῦ ὕφους γραφέντος διὰ Ἰωάννου νοταρίου τοῦ ταβουλλαρίου τοῦ Περάματος μηνὶ μαρτίῳ πέμπτῃ, ἰνδικτιῶνος β', ἔτους ,ϛχ δευτέρου κατὰ παρουσίαν τῶν ὑπογραφέντων μαρτύρων. †

† Θεοδόσιος, χαρτουλάριος καὶ πατριαρχικὸς νοτάριος, ὁ ἀνεψιὸς τοῦ ἀποιχομένου Βασιλείου τοῦ Καστρεισίου, ἀρεσθεὶς ἐπὶ τῇ παρούσῃ ἀποτάξει τῆς εἰρημένης μονῆς τοῦ τιμίου Θεολόγου, τοῦ ἐν τῇ νήσῳ τῆς Πάτμου, παραλαβὼν δὲ καὶ τὸ ἀναγεγραμμένον χρυσίον, τὰ διακόσια τραχέα χιάτα νομίσματα, σῶα καὶ ἀνελλιπῆ, ἀντιστρέψας δὲ ὑμῖν τὰ ἀναγεγραμμένα δικαιώματα, τό τε πρωτότυπον τῆς μυστικῆς διατάξεως τοῦ κυροῦ Χριστοδούλου καὶ μοναχοῦ τοῦ Λατρηνοῦ, τὸ πρωτότυπον τοῦ κωδικέλλου αὐτοῦ καὶ τὰ ἴσα τούτων τὰ πεπιστωμένα παρὰ τοῦ μεγαλεπιφανεστάτου κουροπαλάτου καὶ πραίτωρος Πελοποννήσου καὶ Ἑλλάδος, κυροῦ Βάρδα τοῦ Ἰκανάτου, ὡς τὸ ὕφος δηλοῖ, καὶ εἰς μηδὲν τῶν ἀναγεγραμμένων ἀμφιβάλλων, ὡς κατὰ θέλησιν οἰκείαν καὶ γνώμην ἀποταξάμενος, οἰκείᾳ χειρὶ προέταξα καὶ ὑπέταξα. †

† Νικόλαος, ὁ εὐτελὴς ἱερεύς, πρωτοπαππᾶς καὶ οἰκονόμος τῆς ἁγίας Εἰρήνης τοῦ Περάματος, πάρειμι ἐπὶ τῷ παρόντι ἐγγράφῳ τῆς ἀποτάξεως τῆς ἀναγεγραμμένης μονῆς τοῦ τιμίου Θεολόγου τῆς Πάτμου καὶ τῇ δόσει τοῦ χρυσίου τῶν διακοσίων τραχέων χηράτων νομισμάτων καὶ τῇ ἀντιστροφῇ τῶν ἀναγεγραμμένων δικαιωμάτων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Νικόλαος, κλη[ρικὸς] τῆς αὐτῆς ἐκκλησίας, ὁ τοῦ παππᾶ

Φωτίου, πάρειμι ἐπὶ τῷ παρόντι ἐγγράφῳ τῆς ἀποτάξεως τῆς ἀναγεγραμμένης μονῆς τοῦ τιμίου Θεολόγου τῆς Πάτμου καὶ τῇ δόσει τοῦ χρυσίου· τῶν διακοσίων τραχέων χηράτων νομισμάτων καὶ τῇ ἀντιστροφῇ τῶν ἀναγεγραμμένων δικαιωμάτων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Ἰωάννης σπαθαροκανδιδάτος, ὁ Καρπιανίτης, πάρειμι ἐπὶ τῷ παρόντι ἐγγράφῳ τῆς ἀποτάξεως τῆς ἀναγεγραμμένης μονῆς τοῦ τιμίου Θεολόγου τῆς Πάτμου καὶ τῇ δόσει τοῦ χρυσίου τῶν διακοσίων τραχέων χηράτων νομισμάτων καὶ τῇ ἀντιστροφῇ τῶν ἀναγεγραμμένων δικαιωμάτων, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Παντολέων σπαθαροκανδιδάτος καὶ μειζότ[ερος], ὁ Περαματᾶς, πάρειμι ἐπὶ τῷ παρόντι ἐγγράφῳ τῆς ἀποτάξεως τῆς ἀναγεγραμμένης μονῆς τοῦ τιμίου Θεολόγου τῆς Πάτμου καὶ τῇ δόσει τῶν διακοσίων τραχέων χηράτων νομισμάτων καὶ τῇ ἀντιστροφῇ τῶν ἀναγεγραμμένων δικαιωμάτων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Ἰωάννης νοτάριος, ὁ Ἁγιογεωργίτης, πάρειμι ἐπὶ τῷ παρόντι ἐγγράφῳ τῆς ἀποτάξεως τῆς ἀναγεγραμμένης μονῆς τοῦ τιμίου Θεολόγου τῆς Πάτμου καὶ τῇ δόσει τῶν διακοσίων τραχέων χηράτων νομισμάτων καὶ τῇ ἀντιστροφῇ τῶν ἀναγεγραμμένων δικαιωμάτων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Εὔλαμπτος, κριτὴς καὶ ταβουλλάριος, ὁ Ἁγιοειρηνίτης, καὶ αὐτὸς παρὼν ἐπὶ πᾶσιν, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα. †

† Ἰωάννης νοτάριος, ὁ καὶ γραφεύς, καὶ αὐτὸς παρὼν καὶ μαρτυρῶν ὑπέγραψα. †

*Autogr. chart. Flor. II, nro 6. Sub nro 7 exemplar antiquum eiusdem chartae.*

## XXII. [6607—1099] mense iulio, ind. VII.

*Imperator Alexius I. Comnenus pro salute animae monasterio donat duodecim colonos habitaturos in praediis Parthenio et Temeniis et in insula Lipso.*

Τὸ ἴσον τῆς γεγονυίας τιμίας καὶ προσκυνητῆς βασιλικῆς λύσεως ὑπὲρ τοῦ νησιδίου τῆς Λειψῶ καὶ τῶν δύο προαστείων, τοῦ τε Παρθενίου καὶ τῶν Τεμενίων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΓΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

† Εὐδοκεῖ ἡ βασιλεία μου, ψυχικὸν αὐτῆς, προσκαθίσαι ἐν τοῖς ἐντὸς δηλουμένοις τρισὶν ἀκινήτοις ὑμῶν, ἑκάστῳ αὐτῶν, ἀνὰ παροίκους τέσσαρας, ἐλευθέρους μέντοι καὶ ἀτελεῖς, καὶ μήτε γῆν ἰδίαν ἔχοντας, μήτε δημοσιακοῖς χαρτίοις ἐγγεγραμμένους καὶ ἐξακουσσεύεσθαι τούτους ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας καὶ ἀγγαρείας καὶ ἀπὸ παντὸς δημοσιακοῦ τέλους καὶ βάρους, νῦν τε ὄντων καὶ ἐσύστερον ἐπινοηθησομένων, εἰ καὶ μὴ ῥητῶς καὶ πρὸς ὄνομα αἱ ἐπήρειαι πᾶσαι ἐνταυθοῖ ἀναγράφονται, τῆς παρούσης λύσεως προσούσης ὑμῖν εἰς ἀσφάλειαν καὶ τοῖς κατὰ καιρὸν πράκτορσιν ὑποδεικνυομένης καὶ τοὺς δωρηθέντας ὑμῖν δώδεκα παροίκους ἐν τοῖς τρισὶν ἀκινήτοις ὑμῶν διατηρούσης ἀνενοχλήτους καὶ ἀνωτέρους πάσης δημοσιακῆς συνεισφορᾶς καὶ ἐπηρείας. †

† Τὸ δέ· μηνὶ ἰουλίῳ ἰνδικτιῶνος ζ', δι' ἐρυθρῶν γραμμάτων τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, καὶ ἡ διὰ κηροῦ συνήθης σφραγίς. †.

Κατεστρώθη μηνὶ αὐγούστῳ κζ', ἰνδικτιῶνος ζ' παρὰ τοῦ Σερβ[ιλ]ίου] Ἰωάννου.

Κατεστρώθη διὰ τοῦ Ἀρταβάσδου μηνὶ αὐγούστῳ κζ', ἰνδικτιῶνος ζ'.

Κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογοριαστοῦ τοῦ Μαλ . . . . κατὰ τὴν κζ' τοῦ αὐγούστου μηνὸς τῆς ζ' ἰνδικτιῶνος.

Κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ ἐπὶ τοῦ βεστιαρίου μηνὶ αὐγούστῳ κζ', ἰνδικτιῶνος ζ'.

Κατεστρώθη εἰς τὸ σέκρετον τοῦ μεγάλου λογαριαστοῦ τῶν εὐαγῶν σεκρέτων μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος ζ'.

Κατεστρώθη ἐν τῷ σεκρέτῳ τῆς βασιλικῆς σακέλλης μηνὶ σεπτεμβρίῳ, ἰνδικτιῶνος η'.

† Γεώργιος ὁ Πλευρῆς τὰ παρόντα ἴσα μετὰ τῶν πρωτοτύπων ἀντιβαλὼν καὶ κατὰ πάντα εὑρὼν ἰσάζοντα ὑπέγραψα καὶ ἐσφράγισα κάτωθεν εἰς βεβαίωσιν, μηνὶ μαΐῳ, ἰνδικτιῶνος η' †.

*Exemplar. Flor. nro 50. η'.*

## XXIII. 6626—1118, 25 die mensis augusti, ind. XI.

*Controversia de aqua inter Achillium Limenitam et incolas vici Menici in insula Creta dirimitur.*

† Ἀχίλλιος ὁ Λιμενίτης οἰκείᾳ χειρὶ προέταξα. †

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΣΑΤΑ ΙΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

[† Ἐν] ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· Ἀχίλλιος ὁ Λιμενίτης ὁ τὴν ἰδίαν προταγὴν οἰκείᾳ χειρὶ προσημηνάμενος τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον καθαρὰν διάλυσιν καὶ συμβίβασιν τῆς κάτωθεν ῥηθησομένης ὑποθέσεως τίθημι καὶ ποιῶ μετὰ παντὸς τοῦ μέρους τῶν διαδόχων καὶ κληρονόμων μου, οὐκ ἔκ τι[νος ἀνάγκ]ης ἢ βί[ας ἢ φό]βου προκειμένου καὶ μέλλοντος ἢ ὑποπτευομένου, ἀλλ' ὀρθῇ βουλῇ καὶ γνώμῃ μου τῇ μετὰ μεμεριμνημένης σκέψεως καὶ ἀποδοχῆς μ[ονίμου] πρὸς ὑμᾶς τοὺς ὅλους ἐποίκους καὶ κ . ρο . . ους τοῦ χωρίου Μένικος, δι' ὑμῶν δὲ καὶ . . . . . . ον καὶ παντὶ μέρος *(sic)* καὶ τοὺς κληρονόμους καὶ διαδόχους ὑμῶν ἅπαντας, ὡς ἡ ὑπόθεσις παρακατιὼν δηλώσει· καὶ γὰρ ἔγκλησιν συστησαμένων ὑμῶν κατ' ἐμοῦ εἰς τὸ περιφ[ανὲς] δικ[αστήριον] τοῦ πανυπερλάμπρου πρωτοπροέδρου καὶ κατεπάνω Κρήτης, κυροῦ Ἰωάννου τοῦ Ἐλαδικοῦ, καὶ οἰκείου ἀνθρώπου τοῦ ἁγίου ἡμῶν αὐθέντου, τοῦ πανσεβάστου σεβαστοῦ μεγάλου δουκὸς καὶ πραίτωρος, κυροῦ Εὐμαθίου τοῦ Φιλοκάλη, καὶ αὐθέντου ἡμῶν, ὡς [πρὸ] χρόνων δεκαεπτὰ ἀνεγερθέντος παρ' ἐμοῦ καινοφανοῦς ἐργαστηρίου ἐν τῷ τοῦ Μένικος ποταμῷ κατεκρατήθη παρ' ἐμοῦ τὰ ὕδατα, ἃ εἴχετε αὐτοὶ ἀείποτε, δι' ὧν καὶ τὰ ποτάμια ὑμῶν χωράφια ἠρδεύοντο, φυτοκομοῦντες ἐν αὐτοῖς καὶ κατασπείροντες βαμβακηρά τε καὶ κεχρία, κρόμυά τε καὶ λάχανα καὶ παντοῖα ἄλλα σπέρματα ἀπό τε ὀσπρίων καὶ λαχάνων, ἃ ποτίζεσθαι ἐπάναγκες, καὶ τῇ καθήρξει τοῦ τοιούτου ὕδατος, ἀπωλέσαι ταῦτα πάντα καὶ ἐπὶ χρόνους ἄρτι δεκαεπτά, ὡς εἴρηται, καθυστερεῖσθε τούτων. ἀλλὰ μὴν καὶ ἑτέρας καινοτομίας οὐκ ὀλίγας ὑποστῆναι εἴς τε τοὺς ἀμπελῶνας καὶ τὰ δένδρα ὑμῶν διενίστασθε, ὡς καὶ τούτων ἀρδευομένων ἀπὸ τοῦ ὕδατος, καὶ τὴν ἀπὸ τοῦ νόμου βοήθειαν ἀνεκαλεῖσθε. ἀχθέντος τοίνυν κἀμοῦ καὶ τῷ δικαστηρίῳ παραστάντος διὰ τὸν βεστάρχην Ἰωάννην τοῦ Κολικοῦ ἐν τῷ δικάζεσθαι ἡμᾶς ἀμφοτέρους περὶ μὲν τοῦ μύλωνος, αὐτὸς ὁ δηλωθεὶς αὐθέντης ἡμῶν, ὁ κατεπάνω, παραγενόμενος κατὰ τὸν τόπον, συμπαρομαρτυρούντων αὐτῷ τοῦ τε καθηγουμένου τῆς σεβασμίας μονῆς τοῦ ἐρ . . . κυροῦ Ἰωάννου, τοῦ προέδρου καὶ πριμμικηρίου, κυροῦ Βασιλείου τοῦ Ἀρίβη, τοῦ μαγίστρου καὶ πριμμικηρίου τοῦ Διαβολογύρη, τοῦ προέδρου καὶ προνοητοῦ τοῦ Κλαδο . . . . . , τοῦ μαγίστρου κυροῦ Κωνσταντίνου τοῦ Βούρτζη, τοῦ σωκαρο . . . . . κυροῦ Γεωργίου τοῦ Τουρμάρχου, τοῦ μοναχοῦ Μελετίου καὶ καθηγουμένου τῆς ὑπεραγίας θεοτόκου τῆς Ἀειβρύτου, καὶ τῶν πέριξ χωρίων πάντων, διὰ τὸ εἶναι τοῦτον ἔξω ἀναγραφῆς καὶ ἀπὸ τῆς βρύσεως αὐτῆς τῆς συνορούσης τὰ δίκαια τῆς μητροπόλεως καὶ τοῦ χωρίου ὑμῶν καὶ τοῦ προαστείου μου τοῦ Σεμπιόνου, ἀφ' ἧς τὸ τοιοῦτον ἐξέρχεται ὕδωρ καὶ ἄρχι τοῦ ἀπὸ παλαιοῦ δεδημοσιευμένου μύλωνος καταντήσας,

εἰς ὃν οὐδὲ ὑμεῖς ἀμφιβολίαν εἴχετε, ἀπ᾽ αὐτοῦ δὲ καὶ ἐπὶ τοῖς ἔμπροσθεν τοῦ τοιούτου μύλωνος, ἰδὼν ὡς ὅτι τὸ νερὸν ὡς πρὸς τὸ ἀλήθειν αὐτὸν ἀπεικάσαντός μου, ἀπ᾽ ἐκείνου δὲ καὶ εἰς τὴν πόλιν κριμνηζομένου καὶ μὴ ἐχόντων ὑμῶν ὁδὸν ἀναλαβέσθαι τοῦτο εἰς τὸ ποτίζειν ἃ προείρηται τοπία, καθὼς ἔκπαλαι εἴχετε τύπον, καὶ τὴν τοσαύτην ἀδικίαν πληροφορηθέντες καὶ μήτε ἐν τοῖς πρακτικοῖς τοῦ δημοσίου ἢ τῆς ἀναγραφῆς εὑρὼν τὸν τοιοῦτον μύλωνα τελοῦντά τι, παρευθὺς προσέταξε χαλασθῆναι αὐτὸν ἐκ βάθρων αὐτῶν, τὸ δὲ ὕδωρ ἀπὸ τὸν παλαιὸν καὶ δεδημ...ιευμένον μύλωνα, ἔνθα καὶ τὴν παλαιὰν νομὴν εἴχετε, μετοχέτευσα, ὥστε ἔχειν ὑμᾶς τὴν τούτου χρῆσιν κατὰ τὸ ἀκώλυτον καὶ ἀρδεύειν τὰ ποτάμια χωράφια ὑμῶν ὡς ἔκπαλαι· τούτου γὰρ χάριν καὶ δι᾽ ἐγγράφου καὶ ἐνυπογράφου πρακτικοῦ παρεδόθη ὑμῖν ἡ τοῦ τοιούτου ὕδατος ἀναφαίρετος νομὴ καὶ χρῆσις. περὶ δὲ τῶν λοιπῶν καινοτομιῶν, ὧν ἐλέγετε ὑποστῆναι, ἔγγραφον τῶν τοιούτων τοῦ ποσοῦ καὶ τῶν χρόνων, καθ᾽ ὅσους ταῦτα ὑπέστητε, τῷ αὐθέντῃ ἡμῶν τῷ κατεπάνω ἐπιδεδώκατε. περὶ ὧν καὶ ἔγγραφον ἀπόφασιν τῆς κρίσεως αὐτοῦ ἐνεχείρησε ταῦτα οὑτωσὶ περιέχουσαν·

† «Καὶ αὖθις κατὰ τὰ ἐν μέσῳ προσδιορισθέντα τοῖς ἐποίκοις τοῦ χωρίου Μένικος, ὥστε ἐγγράφως ἡμῖν παραστῆσαι, ἃς ὑπέστησαν καινοτομίας ἐκ τῆς παρ᾽ αὐτοῦ τοῦ ὕδατος τοῦ παρὰ Ἀχιλλίου τοῦ Λιμενίτου κατεχομένου, ἠχηζομένου τε καὶ μὴ συγχωρουμένου καταρδεύειν τὰς ἀρωσίμους αὐτῶν χώρας καὶ τοὺς ἀμπελῶνας, ἐγγράφως τε ἐκθέσθαι καὶ τοὺς καιροὺς τῶν καινοτομιῶν, παρέστησαν τῷ δικαστηρίῳ οἱ Μενικιῶται, συμπαριστάμενον αὐτοῖς ἔχοντες καὶ τὸν Λιμενίτην Ἀχίλλιον, καὶ δι᾽ ἱκετηρίου αὐτῶν ἐγγράφως τὰς καινοτομίας, ἃς οὗτοι πάθοιεν, παρὰ τῷ ἐγγράφῳ ἐκθέμενοι καὶ τοὺς καιροὺς τῶν καινοτομιῶν ἐν αὐτῷ διασαφήσαντες ἡμῖν ἐνεφάνησαν, ὅπερ καὶ ὑπαναγνωσθὲν παρ᾽ ἡμῶν ὡρίσθη τρεῖς ἐκλεγῆναι ἄνδρας ἀπὸ τῶν τῷ Ἀχιλλίῳ ἀνθισταμένων καὶ ἐν χερσὶ φέροντες τὸ παρ᾽ αὐτῶν γεγονὸς ἔγγραφον ἐπομώσασθαι μὴ κατά τι διαψεύσασθαι ἐκ τῶν τῷ ἐγγράφῳ ἀνατασσομένων, μήτε μὴν περὶ τῆς ποσότητος τῶν δεκαεπτὰ ἐνιαυτῶν μικρόν τι ψευδεῖς ἀναδείκνυσθαι καὶ εὐθυνθῆναι, νομίμως τὸν Λιμενίτην Ἀχίλλιον τῆς τῶν ἀμπελώνων βλάβης καὶ λύμης τῆς ἀρωσίμου γῆς αὐτῶν, τῇ ἀκριβεῖ διατιμήσει τῶν πλησιαζόντων χωρίων αὐτοῖς τῶν ἐπιστημόνων διατιμωμένης· μηνὶ αὐγούστῳ ια´, ἰνδικτιῶνος ια´. Ὁ κατεπάνω δι᾽ οἰκείων αὐτοῦ γραμμάτων.» † Οὕτως οὖν τῆς ἀποφάσεως διεξιούσης, ἐξελθόντων ἡμῶν ἀπὸ τ.. δικαστήριον τῷ περιωνύμῳ ναῷ τῶν Ἁγίων Πάντων τῆς μητροπόλεως κατελάβομεν οἱ ἑκάτεροι πρὸς τὸ γενέσθαι κατὰ τὴν τοῦ αὐθέντου ἡμῶν κρίσιν. ἀνδρῶν οὖν τῶν φιλοχρίστων καὶ εἰρηνοποιῶν εὑρεθέντων οὐκ εἴασαν ἡμᾶς ἐπομό-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε.Υ.Α ΤΗΣ ΚΕ.Π.Ι. ΙΩΑΝΝΙΝΑ 2006

σασθαι καὶ τέως δοκιμασθέντων τῶν ζημιῶν, ὧν τε κατὰ πολὺ ἐζημιώθητε ἐκ τῆς τοῦ ὕδατος κατακρατήσεως, ἐκορυφώθησαν εἰς πολλά. καὶ διὰ τὸ θελῆσαι ὑμᾶς καθαρῶς διαλυθῆναι μετ' ἐμοῦ διὰ μεσιτίας, ὡς εἴρηται, τῶν ἀναγεγραμμένων ἀνδρῶν πάντα παραδραμόντες ᾑρετίσασθε λαβεῖν ἀπ' ἐμοῦ κατὰ τελείαν διάλυσιν καὶ συμβίβασιν χρυσᾶ διὰ χαράγματος νομίσματα θεοτοκία λίτρας δύο, ἅστινας δὴ καὶ ἀποδοὺς ὑμῖν ἐν μιᾷ καταβολῇ τὴν σήμερον, ἥτις ἐστὶν εἰκοστὴ πέμπτη τοῦ αὐγούστου μηνὸς τῆς παρούσης ια' ἰνδικτιῶνος, ἐπ' ὄψει καὶ παρουσίᾳ τῶν ὑπογραφέντων μαρτύρων τελείως καὶ καθαρῶς καὶ ἄνευ τινὸς περιεργίας ἢ ῥᾳδιουργίας διαλυθεὶς μεθ' ὑμῶν καὶ μηδεμίαν κίνησιν ἢ ἀγωγὴν ἔχων μεθ' ὑμῶν ἢ τοῦ ὅλου μέρους ὑμῶν, ἀλλὰ τελείως ἐπὶ πᾶσι τοῖς κατ' ἐμοῦ κινηθεῖσι διαλυθεὶς καὶ κατὰ πολλήν μου ἀρέσκειαν τὴν καταβολὴν τῶν δύο θεοτοκίων λιτρῶν πρὸς ὑμᾶς ποιησάμενος συμφωνῶ, μετὰ καὶ ἀκουϊλιανῆς ἐπερωτήσεως καὶ ἀκεμπτηλατίωνος νόμου στέργειν καὶ ἐμμένειν τῇ ἀγάπῃ καὶ διαλύσει, ᾗ διελύθημεν ἑκάτεροι. διὸ καὶ ἀσφαλίζομαι, ὡς εἴπερ ἀπὸ τοῦ παρόντος κίνησιν ἢ ἀγωγὴν αὐτὸς ἢ τὸ μέρος μου ἤ τις τῶν κληρονόμων μου καθ' ὑμῶν ποιήσασθαι φωραθῶ, καὶ οὐ καλῶς καὶ καθαρῶς διελύθην σήμερον μεθ' ὑμῶν, ἀνακαλούμενος δῆθεν τὸν καθαιρεθέντα μύλωνα ἢ τὸ ὕδωρ τὸ διὰ πρακτικοῦ παραδοθὲν ὑμῖν ἢ τὰ καταβληθέντα νομίσματα ἐπὶ διαλύσει, τὰς δύο δηλονότι λίτρας, ἢ περὶ καινοτομιῶν τινων καὶ ἐξόδων συμβησομένων ὑμῖν δῆθεν ἐξ αἰτίας ἐμῆς καὶ πρὸς ἀφορμάς τινας καὶ ἀντιθέσεις ποτὲ τῶν καιρῶν χωρήσω ἢ κακώσω ὑμᾶς ἤ τινα τῶν ἀπὸ τοῦ ὅλου μέρους ὑμῶν ἢ τῶν παίδων, καὶ εἰς δικαστήριον καὶ ὀχλήσεις ἑλκύσω ἐν οἱοδήτισι καινοτομίαις καὶ κατατριβαῖς ποιεῖν ἐπιχειρήσω ποτὲ τῶν καιρῶν μέχρι καὶ τοῦ τυχόντος, μὴ μόνον τὸ ἐκ θεοῦ κατάκριμα ἐπισπάσομαι καὶ [τὰς] ἀρὰς πάντων τῶν ἁγίων καὶ τὸ ἀνάθεμα, ἀλλὰ καὶ ἐν τῷ μὴ εἰσακούεσθαί με παρὰ τῶν νόμων εἰς εἴ τι ἂν καὶ λέγω, παράσχω ἀπεντεῦθεν πρὸς ὑμᾶς χάριν προστίμου ἐκ συμφώνου καὶ ἐπερωτήσεως χρυσᾶ νομίσματα λίτρας θεοτοκίους τρεῖς, πρὸς δὲ τὸ βασιλικὸν βεστιάριον τὸ τρίτον τούτων· πρὸς δὲ καὶ τὰς καινοτομίας τὰς ἀπαριθμηθείσας, περὶ ὧν καὶ διελύθην μεθ' ὑμῶν καὶ ταύτας ἀσυμπαθῶς ἀπαιτούμενος μηδεμίαν ἔξω ἀπὸ νόμου βοήθειαν τὸ σύνολον. ἔτι δὲ καὶ τοῦτο ἐπὶ τῇ παρούσῃ διαλύσει ᾑρετισάμην συμφωνήσας μεθ' ὑμῶν, ἵνα τὴν ἀνήκουσαν ἐκταγὴν πᾶσαν τῶν κινηθεισῶν ὑποθέσεων παρ' ὑμῶν κατ' ἐμοῦ, περὶ ὧν καὶ διελύθημεν, αὐτὸς παράσχω οἴκοθέν μου ὑμῶν ἀκαταζητήτων καὶ ἀζημίων διατηρηθέντων παντάπασιν. ἐγράφη διὰ χειρὸς Νικήτα διακόνου, λογοθέτου τῆς ἁγιωτάτης μητροπόλεως καὶ νομικοῦ τοῦ Χάνδακος, τοῦ Κοντόρη, μηνὶ αὐγούστῳ κε', ἰνδικτιῶνος ια', ἔτους ,ςχκς', παρουσίᾳ τῶν ὑπογραφέντων μαρτύρων. †

† Αἱ ὑπογραφαὶ τῶν μαρτύρων †.

† Καλλίνικος, ἱερεὺς καὶ σκευοφύλαξ τῆς μητροπόλεως, πάρειμι ἐπὶ τῇ παρούσῃ καθαρᾷ διαλύσει καὶ τῇ δόσει τῶν δύο λιτρῶν θεοτοκίων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Δημήτριος, εὐτελὴς ἱερεὺς καὶ δευτερεύων τῆς μητροπόλεως, πάρειμι ἐπὶ τῇ παρούσῃ καθαρᾷ διαλύσει καὶ τῇ δόσει τῶν δύο λιτρῶν θεοτοκίων, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Νικήτας, εὐτελὴς ἱερεὺς ὁ τοῦ Σκευοφύλακος, πάρειμι ἐπὶ τῇ παρούσῃ καθαρᾷ διαλύσει καὶ τῇ δόσει τῶν δύο θεοτοκίων λιτρῶν, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Δημήτριος ναύκληρος ὁ Κομητᾶς πάρειμι ἐπὶ τῇ παρούσῃ καθαρᾷ διαλύσει καὶ τῇ δόσει τῶν δύο θεοτοκίων λιτρῶν, ὡς τὸ ὕφος δηλοῖ, καὶ μαρτυρῶν ὑπέγραψα †.

† Νικήτας, εὐτελὴς διάκονος, λογοθέτης τῆς ἁγιωτάτης μητροπόλεως καὶ νόμικὸς τοῦ Χάνδακος, ὁ τοῦ Κοντόρη καὶ αὐτὸς συμμαρτυρῶν ἔγραψα καὶ ὑπέγραψα †.

† Τὸ παρὸν ἴσον τῷ ἐμφανισθέντι μοι πρωτοτύπῳ παλαιῷ χαρτίῳ ἀντιβαλὼν καὶ ἰσάζον εὑρὼν ὑπέγραψα μηνὶ ἰουνίῳ α', ἡμέρᾳ β', ἰνδικτιῶνος ι', ἔτους ϛψ' †.

† Παῦλος, ταπεινὸς ἐπίσκοπος τῆς θεοσώστου πόλεως Κνωσσοῦ ἤτοι τοῦ Χάνδακος †.

*Exemplar chart. Flor.* nro 87.

## XXIV. Sine anno et mense.

*Imperator Ioannes Comnenus confirmat exemptionem navis peculiaris monasterii a tributis et donationes factas coenobio ab imperatore Alexio I. Comneno, donatque ei alteros centum modios frumenti e vectigalibus insulae Cretae.*

† Ἔφθη μὲν ὁ ἀξιομακάριστος καὶ ἀοίδιμος βασιλεύς, αὐθέντης καὶ πατὴρ τῆς βασιλείας μου, ἐξ αἰτήσεως τοῦ ἐν μακαρίᾳ τῇ λήξει τὴν ζωὴν ἐκμετρήσαντος τιμιωτάτου ἐκείνου μοναχοῦ καὶ ἡσυχαστοῦ, κυροῦ Χριστοδούλου τοῦ Λατρηνοῦ, δωρήσασθαι τῇ κατὰ τὴν νῆσον Πάτμον ἀνεγερθείσῃ παρ' ἐκείνου μονῇ ἄδειαν ἐξκουσσείας πλοίου ἰδιοκτήτου, χωρήσεως μοδίων πεντακοσίων μικρῷ πλέον ἢ ἔλασσον, ὥστε διὰ τούτου μὲν τὰ χρειώδη τοῖς μοναχοῖς διακομίζεσθαι. αὐτὸ δὲ τὸ πλοῖον ὀφείλει ἀποπλέειν, ἔνθα δὴ καὶ ὅτε τοῖς μοναχοῖς βουλητόν,



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΥΘΥΝΗ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΗΤΣΙΟΣ Επ. Δημ. Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἴς τε τὰ τῆς ἑῴας μέρη καὶ τὰ ἑσπέρια, ἔτι δὲ καὶ εἰς τὰς ἀπανταχῆ νήσους, καὶ τὰ χρειώδη τοῖς μοναχοῖς ἐμπορευόμενον, εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους ἀπὸ παντὸς τοῦ ἐπηρεαστικῶς ἐπεμβαίνοντος ἐξκουσσεύεσθαι συνάμα τοῖς ἐν τούτῳ ἐμπλέουσι καὶ πάσης ἐπηρείας καὶ ἀγγαρείας ἀνωτάτω διαφυλάττεσθαι καὶ μήτε πρὸς μετακομιδὴν τῶν χρειωδῶν καὶ αὐτῇ τῇ βασιλείᾳ μου ἀναγκαιοτάτων παρ' οὑτινοσοῦν ἀποστέλλεσθαι, μήτε μὴν ἐμβλήσει κόκκου ἢ συνωνῆς ἢ στραβοξυλῆς ἢ χόρτου εἰσαγωγῆς ἢ ἄλλῃ τινὶ ἀναγκαιοτάτῃ λειτουργίᾳ βαρύνεσθαι, ἀλλ' ἐλεύθερον πάντοθεν διατηρεῖσθαι πάσης καὶ παντοίας ἐπηρείας, ἀγγαρείας τε καὶ κακώσεως. καὶ τοῦ τηνικαῦτα πρώτως ἀνεγερθέντος πλοίου, καὶ τῷ χρόνῳ παλαιωθέντος καὶ κινδύνῳ περιπεσεῖν κινδυνεύοντος ἢ ναυαγίῳ ἴσως περιπίπτοντος ἢ καὶ ἄλλως ἀπολλυμένου ἐξεῖναι τοῖς μοναχοῖς ἕτερον ἀντ' ἐκείνου πλοῖον ἀνακαινίζειν, τῆς αὐτῆς τυγχάνον χωρήσεως καὶ τῆς ἴσης ἐξκουσσείας ἐπαπολαῦον· καὶ μὴ προσάπαξ τὸν ἀνακαινισμὸν τοῦ τοιούτου πλοίου καὶ τὴν τούτου ἐξκουσσείαν αὐτοῖς ἐκχωρηθῆναι, ἀλλ' ὁσάκις τῷ χρόνῳ διαφθαρείη ἢ ναυαγίῳ τινὶ περιπέσοι ἢ καὶ ἄλλως ἀπωλείᾳ παραδοθείη. καὶ τοιαύτη μὲν ἡ περὶ τῆς ἐξκουσσείας τοῦ πλοίου καὶ τῶν ἐν αὐτῷ ἐμπλεόντων ἐκχώρησις εἰς τὸν ἅπαντα αἰῶνα διὰ τοῦ προεκτεθέντος χρυσοβούλλου λόγου πεφιλοτίμηται, καθὼς δῆτα σαφέστερον ἡ ἐν ἐκείνῳ γραφὴ παρίστησι. ἐπεὶ δὲ μετὰ τὸν σεβάσμιον ἐκεῖνον μοναχὸν καὶ ἡσυχαστήν, κυρὸν Χριστόδουλον τὸν Λατρηνόν, καὶ τὸν μετ' ἐκεῖνον τῇ ταύτῃ μονῇ ἐνασκήσαντα τιμιώτατον μοναχόν, κυρὸν Ἰωσὴφ τὸν Ἰασίτην, οἱ τούτων μαθηταὶ καὶ μονάζοντες, ἐνδείᾳ τῶν χρειωδῶν καὶ πρὸς τὸ ζῆν ἀναγκαίων αὐτοῖς συνεχόμενοι, τῷ τρισμακαρίστῳ αὐθέντῃ καὶ πατρὶ τῆς βασιλείας μου μετὰ λιπαρᾶς δεήσεως προσδεδραμήκασι, τυπωθῆναί τε τούτοις τὰ πρὸς διατροφὴν ἐξῃτήσαντο, καὶ χρυσόβουλλον σιγίλλιον ἀπειλήφασι τοῦ θεοσεβοῦς κράτους ἐκείνου, τυποῦν ἐτησίως δίδοσθαι τούτοις, μέχρις ἂν τόδε τὸ περίγειον συνεστήκοι, σίτου μὲν μοδίους τριακοσίους, νομίσματα δὲ εἰκοσιτέσσαρα κομνηνάτα θεοτοκία παρὰ τῶν κατὰ καιροὺς δουκῶν Κρήτης, τὰ νῦν δὲ καὶ τῇ βασιλείᾳ μου προσελθόντες, ἐπιβεβαιωθῆναι τὰ προεκτεθέντα δύο χρυσόβουλλα δι' ἐγγράφου αὐτῆς προστάγματος θερμῶς ταύτην κατεδυσώπησαν, ἡ βασιλεία μου εὐμενῶς τὴν τούτων αἴτησιν προσηκαμένη, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον αὐτοῖς ἐπεβράβευσε, δι' οὗ ἐπικυροῖ τὰ τοῖς ῥηθεῖσι μοναχοῖς πορισθέντα δύο καθὰ δεδήλωται, χρισόβουλλα, θεσπίζει τε τὸ βέβαιον ταῦτα καὶ ἐνεργὸν ἀποφέρεσθαι, καὶ παρακελεύεται ἀδιακόπως εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους ἐπαπολαύειν τοὺς μοναχοὺς καθαρῶς τῆς τε τοῦ πλοίου ἐξκουσσείας καὶ τῆς ἐτησίας καὶ ἀνυστερήτου τῶν τυπωθέντων αὐτοῖς ἀπολήψεως κατὰ τὰς περιλήψει-

καὶ δυνάμεις τῶν προγεγονότων, ὡς εἴρηται, χρυσοβούλλων. προστίθησι δὲ ἡ βασιλεία μου τοῖς προτυπωθεῖσι τριακοσίοις μοδίοις τοῦ σίτου καὶ τοῖς εἴκοσι πρὸς τοῖς τέσσαρσι θεοτοκίοις κομνηνάτοις νομίσμασιν ἑτέρους σίτου μοδίους ἑκατὸν ὡς νέον αὐτοῖς φιλοτίμημα. καὶ διορίζεται δίδοσθαι πρὸς τὸ μέρος τῆς μονῆς ἀνεγκρατήτως καὶ ἀπεριλείπτως, δίχα τε προστάξεως ἑτέρας ἢ ὑπομνήσεως, ἀπ' ἀρχῆς τῆς παρούσης δωδεκάτης ἰνδικτιῶνος καὶ μέχρις ἂν ὁ παρὼν διαρκοίη αἰὼν παρὰ τῶν κατὰ καιροὺς δουκῶν Κρήτης ἀπὸ τῶν ὁθενδήποτε παρ' αὐτῶν εἰσοδιαζομένων προσώπων τοῦ δημοσίου ἐκ τοῦ κάστρου τοῦ Χάντακος γεννημάτων καὶ νομισμάτων τοὺς τετρακοσίους μοδίους τοῦ σίτου καὶ τὰ εἰκοσιτέσσαρα θεοτοκία νομίσματα, ἐξκουσσεύεσθαι δὲ καὶ τὸ πλοῖον ἀπὸ πασῶν μὲν καὶ τῶν ἄλλων ἐπηρειῶν, καινοτομιῶν τε καὶ ζημιώσεων κατὰ τὴν περίληψιν καὶ δύναμιν τοῦ προεκτεθέντος, ὡς διείληπται, χρυσοβούλλου λόγου ἐπὶ τῇ τούτου ἐξκουσσείᾳ ἀδιασπάστως, ἀλλὰ μὴν καὶ ἐξ αὐτῆς τῆς τοῦ ἀντιναύλου δόσεως ὑπέρτερον διατηρεῖσθαι εἰς τὸν ἅπαντα αἰῶνα. ἐφ' ᾧ καὶ οὐδὲ δόσει ἀντιναύλου ἀπό γε τοῦ νῦν ὑποτεθήσεται, οὔτε μὴν ἄδειαν ἕξει τις τῶν ἐγκεχειρισμένων τὰς τῶν ἀντιναύλων ἀπαιτήσεις ἐπιζητεῖν ὑπὲρ τοῦ πλοίου ἀπὸ τοῦ μέρους τῆς μονῆς ἀντίναυλον ἢ ὄχλησιν οἱανδήτινα τοῖς μοναχοῖς ἕνεκεν τούτου ἐπάγειν ἢ αὐτοῖς τοῖς ἐν τούτῳ ναυτιλευομένοις· συμπαθεῖ γὰρ ἡ βασιλεία μου τὸ ὑπὲρ τοῦ πλοίου τούτου ἀνῆκον τῷ δημοσίῳ ἅπαν ἀντίναυλον, καὶ εὐδοκεῖ τοῦτο μὲν ἐς τὸ διηνεκὲς μένειν ἀνείσπρακτον, δέχεσθαι δὲ καὶ τοῖς τὰς ἀπαιτήσεις τῶν ἀντιναύλων ἐγκεχειρισμένοις, μηδενὸς τῶν ἁπάντων ἐπ' ἀδείας ἔχοντος πρὸς ἀθέτησιν ὅλως χωρῆσαι τῶν ἐν τῷ παρόντι χρυσοβούλλῳ σιγιλλίῳ διωρισμένων· ἐπὶ τούτῳ γὰρ καὶ οἰκειοχείρως παρὰ τῆς βασιλείας μου ὑπεγράφη καὶ συνήθως ἐπιστώθη καὶ ἐπεδόθη †.

*Archetyp. chart. Desunt annus, mensis, indictio et subscriptio. Flor. nro 15. Extant in tabulario monasterii etiam quattuor exemplaria, 16—17* (ἕτερα πρωτότυπα ἔχοντα τὸ κανίκλωμα *Flor.*), *nro 18* ἕτερον. ὅμοιον *scriptum* μηνὶ Ἰουλίῳ, ἰνδ. ιβ'. διὰ τοῦ γραμματικοῦ Ἰωάννου. ἐκανικλώθη παρὰ τοῦ ἐπὶ τοῦ κανικλείου, *nro 19, exemplar recens, scriptum manu Nicephori, chartophylacis Cretae. Tabula valde est suspecta. Temporibus Ioannis Comneni (15. augusti 1111—18. aprilis 1143) anni 1119 et 1134 habent ind. XII.*

## XXV. 6640—1132, mense augusto, ind. XI (?).

***Patriarcha Ioannes IX Agapetus confirmat monasterium esse liberum et stauropegium.***

† Ἰωάννης, ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

ΙΩΑΝΝΙΝΑ 2006

γ' Ἐδέησε καὶ πόλει πολλάκις ὅτι μάλιστα τετειχισμένῃ καλῶς καὶ παντοίαις ἠσφαλισμένῃ πανταχόθεν ἐπάλξεσι καὶ τινος ἄλλου προτειχίσματος ἔξωθεν καὶ δευτέρου πάλιν οἱονεὶ προπυργώματος, οὐχ ὡς ἐπισφαλῶς ἐχούσῃ καὶ ἀνισχύρως τοῖς πρώτοις ἐκείνοις μόνοις ἐρύμασιν, οὐδ' ὡς ἀποσοβεῖν ἐκεῖθεν ἀδυνατούσῃ τοὺς ἐπεμβαίνειν ἐθέλοντας, ἀλλ' ὡς ἂν που καὶ αὐτῆς προσβολῆς ἐναντίας καὶ πολεμικῆς παντοίας ἐπιχειρήσεως ἐξάντης πάντῃ καὶ ἀνωτέρω διαφυλάττοιτο, τῷ τῶν ὀχυρωμάτων διττῷ τὸ τῆς ἁλώσεως ὥσπερ προορωμένῃ ἀνέλπιστον. οὐδὲ τῇ κατὰ τὴν νῆσον γοῦν Πάτμον διακειμένῃ σεβασμίᾳ μονῇ καὶ ἐπ' ὀνόματι τοῦ ἠγαπημένου μαθητοῦ καὶ παρθένου Ἰωάννου τοῦ Θεολόγου καὶ ἱδρυμένῃ καὶ τιμωμένῃ, ὡς ἐπὶ ἀγκύρας σαθρᾶς τὰ τῆς κατ' αὐτὴν σαλευούσης παντοίας ἐλευθερίας, καὶ τοῦ παρόντος ἐδέησε τῆς ἡμῶν μετριότητος ὑπομνήματος· πρόσεστι γὰρ ταύτῃ λόγος χρυσόβουλλος τοῦ ἐν μακαρίᾳ τῇ λήξει γεγονότος βασιλέως ἡμῶν καὶ πατρὸς τοῦ θεοστεφοῦς ἡμῶν αὐτοκράτορος, τοῦ ἀοιδίμου δηλαδὴ κυροῦ Ἀλεξίου τοῦ Κομνηνοῦ, οὐ βασιλικῆς μόνον καὶ παντοίας σεκρετικῆς τὴν ὅλην νῆσον ταύτην ἀπαλλάττων χειρὸς καὶ μόνῳ ταύτην καθιερῶν τῷ θεῷ καὶ τῷ ἐν τῇ μονῇ τιμωμένῳ, ἀλλὰ καὶ αὐτοδέσποτον καὶ αὐτεξούσιον αὐτὴν ἐς ἀεὶ συντηρεῖσθαι ἐγκελευόμενος καὶ μηδενὶ προσώπῳ καθ' οἱονδήτινα τρόπον ὁπωσδήποτε καθυπάγεσθαι, ἀλλ' ἐν πᾶσιν ἔχειν τὸ ἐλευθέριον, ὡς αὐτὴ ἐκείνη ἡ ῥηθεῖσα χρυσόβουλλος γραφὴ διατάττεται, ἧπερ ὁ ἐντυχὼν πλειόνων οὐ δεηθήσεται λόγων πρὸς τὸ καὶ τὸν τρόπον τῆς ἐλευθερίας μαθεῖν, οἷος ἄρα ταύτῃ δεδώρηται, ὡς ἀνακρωτηρίαστος παντελῶς, ὡς παντὶ προσώπῳ ἀρχοντικῷ, ἐκκλησιαστικῷ τε καὶ ἰδιωτικῷ, πᾶσαν ἀποκλείων θύραν παντὸς δικαίου ἐν τῇ μονῇ. ἐπὶ τοιούτῳ γοῦν οὕτως ἀσφαλεῖ θεμελίῳ τῆς δηλωθείσης ἡδρασμένης μονῆς, ἐμέλησε τοῖς ἐν αὐτῇ μοναχοῖς, πρὸς πλείονά τε τούτων ἀσφάλειαν καὶ τῆς μονῆς φυλακὴν καὶ συντήρησιν καὶ τὸ ἀνεπηρέαστον ἀπό τε τῶν κατὰ τόπον παρ' ἡμῶν ἀποστελλομένων ἐξάρχων καὶ παντὸς ἑτέρου προσώπου, τῇ ἡμῶν προσελθεῖν μετριότητι καὶ ὡς δευτέρῳ ἐπιτειχίσματί τε καὶ ὀχυρώματι τῷ παρόντι αὐτῆς ὑπομνήματι τὰ τῆς παντελοῦς ἐλευθερίας καὶ πάλιν τῇ κατ' αὐτοὺς ἑδράσαι μονῇ, καὶ πάσης προσδοκωμένης ἴσως ἀπαλλάξαι ἑαυτὸν ἐπηρείας τε καὶ ὀχλήσεως. πῶς οὖν οὐκ ἔδει τῇ τούτων καὶ ἡμᾶς αἰτήσει προσχεῖν, καὶ ἀνδρῶν μόνῳ ζώντων θεῷ δικαίαν οὕτω καὶ εὐχερῆ ἀσμένως ἐκπερᾶναι ἀξίωσιν, οὐδὲν ἄλλο καὶ τότε ἄντικρυς αἰτουμένων λαβεῖν ἢ αὐτὸ ὅπερ ἔχουσι; τοίνυν καὶ διοριζόμεθα πάντα τὰ τῇ χρυσοβούλλῳ διειλημμένα γραφῇ οὐκ ἐπὶ τοῖς ἄλλοις μόνον τοῖς ἐμφερομένοις ταύτῃ προσώποις, ἀλλά γε ἐφ' ἡμῖν αὐτοῖς, πάντως δὲ καὶ τοῖς κατὰ καιροὺς ἐσομένοις ἀκολούθως ἁγιωτάτοις πατριάρχαις τὸ ἀρραγὲς κεκτῆσθαι καὶ

ἀμετάπτωτον· οὐδὲν γὰρ ἄλλο οὐδὲ ἑαυτοῖς καὶ τοῖς μεθ' ἡμᾶς ἐν τῇ πολλάκις μνημονευθείσῃ ταύτῃ ὑπολειπόμεθα σεβασμίᾳ μονῇ, ἀλλ' ἢ μόνην τὴν ἀναφορὰν τοῦ ὀνόματος, διὰ τὸ καὶ ἀρχῆθεν τὸ τοῦ κατὰ καιροὺς πατριάρχου ἀναφέρεσθαι ὄνομα, ὡς καὶ ἐπὶ πατριαρχικῷ σταυροπηγίῳ τῆς μονῆς ἀνεγηγερμένης· εἰ γὰρ καὶ αὐτὸ τοῦτο παρὰ τῶν μοναχῶν ἐν τῷ μέσῳ κεκαινοτόμηται, πάσης ἐπισκοπῆς ὀρθοδόξων ἐν ταῖς θείαις ἱεροτελεστίαις μνημονευόντων, θαρρησάντων καὶ τοῦτο ποιῆσαι τῇ τοῦ χρυσοβούλλου λόγου γραφῇ, ἀλλὰ πάλιν διορθουμένη τὸ γεγονὸς ἡ μετριότης ἡμῶν διὰ τὸ πρὸς μηδεμίαν καὶ τοῦτο ζημίαν ἢ βλάβην τῆς μονῆς ἀφορᾶν, διορίζεται διὰ τοῦ παρόντος ἐγγράφου ἀναμφιβόλως ἐν τῇ μονῇ τὸ τοῦ κατὰ καιροὺς πατριάρχου ἀναφέρεσθαι ὄνομα, μηδὲν δέ τι προσεῖναι αὐτῷ ἐπὶ τῇ μονῇ οἱονδηποτοῦν ἄλλο δίκαιον, πολλῷ δὲ δήπου ἑτέροις ἀρχιερεῦσιν ὑφ' ἑαυτοὺς ἄγειν ταύτην ἐπιχειροῦσι διὰ τὸ ἐν τῇ κατ' αὐτοὺς ἐνορίᾳ τυγχάνειν αὐτὴν οὐδεμία πρὸς τὴν μονὴν ἐσεῖται ἡ πάροδος, οὐ χειροτονίας χάριν διακόνων ἢ πρεσβυτέρων, οὐ προβολῆς ἡγουμένων, οὐ ψυχικῶν σφαλμάτων ἐπιτηρήσεως· εἰ γὰρ οὐδὲ τοῖς πατριάρχαις αὐτοῖς ὧν καὶ ἡ ἀναφορὰ τοῦ ὀνόματος διὰ τῆς χρυσοβούλλου ταύτης γραφῆς ἐπιτέτραπται, παντελοῦς ἐλευθερίας τὴν μονὴν ἀξιούσης καὶ αὐτεξούσιον ταύτην παρακελευομένης εἶναι καὶ αὐτοδέσποτον, πολλῷ μᾶλλον αὐτοῖς, οἷς καὶ τῆς χρυσοβούλλου δίχα γραφῆς οὐδὲν ἐπὶ ταύτῃ πρόσεστι δίκαιον, ἅτε δὴ καὶ μόνων τῶν πατριαρχικῶν προνομίων ἀρκούντων τούτοις πρὸς ἀποσόβησιν. ἐξέσται τοίνυν ἀκωλύτως τοῖς μοναχοῖς καὶ παρ' ᾧ ἂν βούλωνται τὰς ἑαυτῶν ποιεῖσθαι χειροτονίας καὶ καθ' ἑαυτοὺς ἐνεργεῖν τὴν τοῦ ἐν αὐτοῖς προστατοῦντος προχείρισιν. εἰ δέ γε καὶ ψυχικὸν ἐπισυμβαίη σφάλμα τῶν ἐκεῖσέ τινι μείζονός ἢ κατὰ τὴν τοῦ προεστῶτος ἰσχὺν δεόμενον διορθώσεως, τῷ πατριάρχῃ παρ' ἐκείνου καὶ τῆς λοιπῆς ἀνενεχθήσεται ἀδελφότητος, κἀκεῖ εὑρήσει κανονικὴν τὴν διόρθωσιν· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ὑπόμνημα τῇ αὐτοχείρῳ ἡμῶν ὑποσημασίᾳ καὶ τῇ διὰ μολίβδου βούλλῃ βεβαιωθὲν ἐπεδόθη τοῖς μοναχοῖς πρὸς ἀσφάλειαν μηνὶ αὐγούστῳ, ἰνδικτιῶνος ια', ἔτει ,ςχμ' †.

† Ἰωάννης, ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης. †

*Edidit J. Sakkelion in periodico:* Εὐαγγελικὸς Κῆρυξ, *Ann. VII. (1863) p. 318—321, partim ex archetypo, cuius prior pars iniuria temporum periit, partim ex exemplari antiquo Flor. II. nro 18. Exemplar, quod servat principium, est nro 19. Aliud exemplar, scriptum exeunte saeculo XVI a Nicephoro chartophylace Cretensi, primo magistro scholae Patmiae. Exempl. recentiora nro 20 et 21. Error est in indictione: annus 1132 habet ind. decimam, non undecimam.*